αὑτὸν ἡγεῖσθαι τὸν φίλον καὶ προσαγορεύειν ἑταῖρον ὡς ἕτερον οὐδέν ἐστιν ἄλλο πλὴν μέτρῳ φιλίας τῇ δυάδι χρωμένων. οὔτε γὰρ δούλους οὔτε φίλους ἔστι κτήσασθαι πολλοὺς ἀπ' ὀλίγου νομίσματος. τί οὖν νόμισμα φιλίας; εὔνοια καὶ χάρις μετ' ἀρετῆς, ὧν οὐδὲν ἔχει σπανιώτερον ἡ φύσις. ὅθεν τὸ σφόδρα φιλεῖν καὶ φιλεῖσθαι πρὸς πολλοὺς οὐκ ἔστιν, ἀλλ' ὥσπερ οἱ
F ποταμοὶ πολλὰς σχίσεις καὶ κατατομὰς λαμβάνοντες ἀσθενεῖς καὶ λεπτοὶ ῥέουσιν, οὕτως †τῷ φιλεῖν ἡ ψυχὴ σφοδρὰ πέφυκεν, εἰς πολλοὺς δὲ μεριζομένη ἐξαμαυροῦται. διὸ καὶ τῶν ζῴων τὸ φιλότεκνον τοῖς μονοτόκοις ἰσχυρότερον ἐμφύεται,
94 καὶ Ὅμηρος ἀγαπητὸν υἱὸν ὀνομάζει | ʻμοῦνον τηλύγετονʼ (I 482 π 19), τουτέστι μήτ' ἔχουσιν ἕτερον γονεῦσι μήθ' ἕξουσι γεγενημένον. (3.) τὸν δὲ φίλον ἡμεῖς ʻμοῦνονʼ μὲν οὐκ ἀξιοῦμεν εἶναι, μετ' ἄλλων δὲ τηλύγετός τις καὶ ὀψίγονος ἔστω, τὸν θρυλούμενον ἐκεῖνον χρόνῳ τῶν ἁλῶν συγκατεδηδοκὼς μέδιμνον, οὐχ ὥσπερ νῦν πολλοὶ φίλοι λεγόμενοι συμπιόντες ἅπαξ ἢ συσφαιρίσαντες ἢ συγκυβεύσαντες ἢ συγκαταλύσαντες ἐκ πανδοκείου καὶ παλαίστρας καὶ ἀγορᾶς φιλίας συλλέγουσιν. ἐν δὲ ταῖς τῶν πλουσίων καὶ ἡγεμονικῶν οἰκίαις πολὺν ὄχλον καὶ θόρυβον ἀσπαζομένων καὶ δεξιουμένων καὶ δορυφορούν-
B των ὁρῶντες εὐδαιμονίζουσι τοὺς πολυφίλους. καίτοι πλείονάς γε μυίας ἐν τοῖς ὀπτανείοις αὐτῶν ὁρῶσιν· ἀλλ' οὔτε αὗται τῆς λιχνείας οὔτε ἐκεῖνοι τῆς χρείας ἐπιλιπούσης παραμένουσιν.